cendi ingenii mei causa e graeco translatum, ut tunc illa minima in his litteris suppeditabat scientia, in publicum promere, ne interpretis imperitia ac ignorantia admirabili illi doctrinae et auctoritate disertissimi doctoris imputetur, apud illos praesertim, qui nullam aut minimam sui notitiam habeant nec cognoscant, quo cum ornatu, quantove pondere omnia sua opera ter ille quaterque beatus in sua edidit lingua, ut tibi tamen gererem morem, viro tum doctrina atque scientia, tum etiam moribus cultissimo atque ornatissimo, mittere tibi eum decrevi, cum non possim tuae ferventi atque flagranti petitioni negare, ut aliqua ex parte laude dignam tuam exstinguam sitim ac insitam tibi inexhaustam aviditatem legendi, volvendique libros huius beatissimi patris possim implere, qui tam cupidus, tamque affectus illius exsistas operibus, ut nihil supra. Quae cum, ut soles, attente ac accurate summa cum admiratione perlegeris, velim ignoscas interpreti, si tam ornate in graeco compositum tam indiserte transtulit in latinum, cum certo me scias tum ob reverentiam atque devotionem, quam erga illum gero beatissimum patrem, hanc rem aggressum fuisse potius quam ob audaciam ac in me ipso confidentiam, tum etiam cum non edidissem in publicum, nisi tu contentione maxima petiisses.

## 17. Bessarionis Cardinalis Nicaeni

In novam Metaphysicorum Aristotelis Translationem

**Ad Alphonsum Regem Aragonum et utriusque Siciliae**

Praefatio.

Bessarion Alphonso, inclyto atque invictissimo regi, salutem. M 5
Magnum illum Alexandrum Macedonem, inclyte atque invictissime princeps, editionem metaphysicorum Aristotelis, quibus apprime eru-

18 cum ] quum P | 20 *Suprascriptio sec. A* ] M *Z V* Bessarionis episcopi Tusculani, Sanctae Romanae Ecclesiae cardinalis, in novam metaphysicorum Aristotelis translationem praefatio incipit feliciter ad Alphonsum, serenissimum atque illustrissimum principem Aragonum et utriusque Siciliae regem invictissimum | 24 Bessarion ... salutem M *V* ] *A Z om.* | 25 atque M *A V* et *Z*

Ep. 17. Bessarion widmet König Alfons von Neapel seine Übersetzung von Aristoteles' Metaphysik. Wichtig ist die Angabe, daß die Anregung zu dem Werk schon vor Nikolaus' V Plan zu einer neuen Übersetzung des Aristoteles von dem König ausgegangen ist.

Überlieferung: Venedig, Cod. Marc. lat. 490 (Zanetti); Class. X Cod. 94 (Valentinelli) chart. saec. XV; von Bessarion eigenhändig (= M); Cesena, Bibl. Malatesta Plut. IV Cod. 2.; Cues, Cod. 184 (aus dem Besitz des Kard. Nikolaus von Cues; fol. 102$^{v}$: Istam translationem fecit rev. d. card. Nicenus, que non posset esse melior, et feci corrigi librum ex originali de manu eiusdem d. cardinalis 1453); Escurial, Cod. lat. f. III 26, fol. 3. [Sign. ant. IV K. 17] (das Geschenkexemplar für König Alfons). —

ΙΩΑΝΝΙΝΑ 2006

ditus fuerat, iniquo animo tulisse memoria prodiderunt. Cuius rei rationem in litteris, quas ad praeceptorem suum Aristotelem dedit, facile expressit, quod scilicet doctrina ac sapientia potius quam armis viribusque anteire ceteros cupiebat, et quidem merito, cum illud hominis, hoc animalis, illud ingenii, hoc corporis sit virtus. Hunc tu, rex sapientissime, imitatus neque armis solum ac tot tantisque victoriis, quibus immortalem tibi gloriam comparasti, contentus litteris quoque modo divinis, modo gentilibus, et his cum ad sapientiam, tum ad eloquentiam conducentibus, non in pace solum, verum etiam in medio bellorum fervore incumbis, et ita incumbis, ut, cum summus in armis sis summumque in re militari locum teneas, dubium sit, quonam magis excellas huiusmodi rebus studentibus, armisne an scientia, potentia an sapientia. Cuius rei argumentum est, quod me, ut librum metaphysicorum Aristotelis tibi latinum facere efflagitasti, et ita efflagitasti, ut ego tanti principis tam honesto desiderio victus oblitus fuerim mei ipsius et tantam rem aggressus sim. Quam veteres aggressi Latini, quid fecerint, quove modo in latinum verterint, aliorum sit iudicium. Ita certe verterunt, ut opus fuerit et sanctissimum ac clementissimum dominum Nicolaum V, pontificem maximum, qui omnis scientiae, omnis divinae humanaeque sapientiae doctissimus in apostolicam sedem conscendit, quique, ut loco et dignitate, ita philosophia, theologia et omni optimarum scientiarum genere principatum obtinet, viros eligere utriusque linguae peritos, qui omnes fere Aristotelis libros denuo in latinam verterent orationem, et maiestatem tuam ante illius in apostolicum tribunal assumptionem a nobis petere, ut hunc, de quo loquimur, librum latinum faceremus. Quem iam diu a me perfectum, tuae sacrae maiestati, rex inclyte, dedicavi. Hunc, qualiscumque erit, cum tua serenitas hilari vultu acceperit, non dubito ceteris quoque ob auctoritatem et dignitatem tuam, acceptum gratumque futurum. Vale feliciter, rex invictissime.

---

4 ceteros M *A Z* ceterorum *V* | 9 etiam M *A Z* et *V* | 17 in latinum M *A V*] *Z om.* in

Druckausgaben: Im Anhang zu Bessarionis In Calumniatorem Platonis. Venetiis apud Aldum 1503. 1516 (= *A*); A. M. Zanetti, Latina et Italica D. Marci Bibliotheca Codicum manuscriptorum. Venetiis 1741, p. 193 sq. (= *Z*); I. Valentinelli, Bibliotheca manuscripta ad S. Marcum Venetiarum. Codices manuscripti latini. Vol. IV. Venetiis 1871, p. 64—65 (= *V*).

Ε.Υ.Δ της Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

## 18. Βησσαρίων Καρδινάλις L 73 B 92 V 152$^{v}$

Τῷ σοφῷ καὶ διδασκάλῳ

**Γεωργίῳ τῷ Γεμιστῷ**

Εὖ πράττειν.

Α′ ζήτημα περὶ τοῦ αὐθυποστάτου.

Κοινῆς πᾶσιν ἐνεσπαρμένης ἐννοίας, καὶ ταύτης ἀληθεστάτης, μηδὲν μηδαμῇ ἀναίτιον εἶναι πλὴν τοῦ πρώτου καὶ πάντων αἰτίου, οὐκ ὀλίγους τῶν Πλάτωνος ἑταίρων ὡς Πρόκλον, Ἑρμείαν τε καὶ Δαμάσκιον τήν τε ψυχήν, τούς τε πρὸ αὐτῆς πάντας εἴτε νοητούς, εἴτε νοητούς τε καὶ νοερούς, εἴτε νοερούς θεοὺς αὐθυποστάτους εἶναι τιθεμένους εὑρίσκομεν. εἴποι δ' ἄν τις μηδ' ἂν μηδὲ Πορφυρίῳ, Ἰαμβλίχῳ, Συριανῷ καὶ τῷ λοιπῷ τῶν ἀνδρῶν ἐκείνων θιάσῳ περί γε τοῦ τοσούτου καὶ τοιούτου πράγματος ἄλλως δοκεῖν, τούς γε προειρημένους ὁρῶν συνεχῶς τὰς τούτων ἀναλεγομένους ἐννοίας καὶ ταῖς αὐτῶν ἑπομένους ὡς τὰ πολλὰ δόξαις.

Ὥσπερ τοίνυν ἐκ μιᾶς γνώμης ἡ τριὰς τῶν προειρημένων ἀνδρῶν αὐθυπόστατα εἶναι τὰ τοιαῦτα τῶν ὄντων ἀποφαίνεται, καὶ οὕτως αὐθυπόστατα ὡς αὐτὰ ἑαυτὰ ὑφιστῶντα καὶ αὐτὰ ἑαυτῶν αἴτια ὄντα καὶ ὅλα ἅμα αἰτιατά τε καὶ αἴτια· ἔν τε γὰρ τῇ θεολογικῇ αὐτοῦ στοιχειώσει τὸν Πρόκλον περὶ τῶν αὐθυποστάτων πολὺν ἂν εὕροις ποιούμενον λόγον, ἔν τε τοῖς εἰς Παρμενίδην αὐτοῦ ὑπομνήμασιν· »οὐχ ὥσπερ λέγουσί τινες, ὅτι πᾶν τὸ παραγόμενον V 153
ὑπ' ἄλλης αἰτίας παράγεται, καὶ ἡμῖν ῥητέον, φησίν, ἀλλ' ὥσπερ εἰώθαμεν τὰ αὐτοκίνητα προτάττειν τῶν ἑτεροκινήτων, οὕτω καὶ τὰ αὐθυπόστατα προθετέον τῶν ὑπ' ἄλλου παραγομένων.« εἰ γάρ ἐστι τὸ ἑαυτὸ τελειοῦν, ἔστι καὶ

---

9 αὐτῆς L αὐτοῦ BV

20 Procl. In Parm

Ep. 18.—21., teils ungedruckt, teils in sehr mangelhafter Edition vorliegend, stellen einen philosophischen Briefwechsel zwischen Bessarion und Georgios Gemistos dar. Überdies werden auch Fragen der Mathematik und des Kalenderwesens erörtert. Vgl. Bd. I 336—338, dazu unten die Nachträge. Als Abfassungszeit kommen die Jahre 1440—52 in Betracht.

Ep. 18, mit vier philosophischen Anfragen an Gemistos, ist überliefert: Rom, Cod. Vat. gr. 1002, fol. 92—93 v (= B, mit einwandfreiem Text); Cod. Vat. gr. 1416, fol. 152—156 (= V, wohl Abschrift aus B); Bibl. Vallicellana Cod. gr. 189 (C VIII) n. 15 (spätere Handschrift); Cod. Barb. gr. 61, fol. 9—11 v (spätere Abschrift); Florenz, Bibl. Laur. Plut. 58, Cod. 33, fol. 73—74 v (= L); Mailand, Cod. Ambr. 348 (F 88, olim V 416) fol. 152—154 v; Cod. Ambr. 579 (N 284 sup.) fol. 7—9; Cod. Ambr. 703 (Q 114 sup.) fol. 27—27 v (Die Codd. Ambr. sind spätere Abschriften); Paris, Bibl. Nat. Cod. gr. 462, fol. 104—109; Cod. gr. 1739, fol. 282—291 v; Cod. gr. 2376, fol. 104—109; Oxford, Cod. Bodl. 2290; Cod. Barocc. 165; Wien. Cod. Theol. gr. 90, fol. 28—29v; Jerusalem, Patriarcheion Cod. 197, fol. 76—77 v (Papadopulos-Kerameus IV 172); Athos, Cod. gr. 4508, n. 145. fol. 556—558; Escurial, Cod. gr. 96 (Σ III 1) fol. 189. — Druckausgabe: Migne PG 161, 713—718 (= *M*, mit sehr vielen Fehlern).

ΙΩΑΝΝΙΝΑ 2006

τὸ ἑαυτὸ γεννῶν. εἰ δὲ ἔστι τὸ αὐθυπόστατον, δῆλον ὅτι τοιοῦτόν ἐστιν, οἷον
B 92v καὶ παράγειν ἑαυτὸ καὶ παράγεσθαι ὑφ' ἑαυτοῦ· »λέγω γάρ, φησίν, αὐθυπόστατον, ὃ ἂν ἑαυτὸ παράγῃ.« τούτοις δὲ ὅμοια κἂν τοῖς εἰς τὴν Πλάτωνος θεολογίαν φιλοσοφεῖ. τοῖς δ' αὐτοῖς λόγοις ἔν τε τοῖς εἰς τὸν Φαῖδρον ὑπομνήμασιν Ἑρμείας, ἔν τε τῇ περὶ ἀρχῶν πραγματείᾳ Δαμάσκιος τὴν ψυχὴν αὐθυπόστατον συμπεραίνουσιν. οἱ δ' αὐτοὶ τὴν αὐτὴν τά τε θειότερα ταύτης ἄνευ τοῦ πρωτίστου ἑνὸς ἢ τἀγαθοῦ καὶ ὑπὸ τῶν πρὸ αὐτῶν πάντων παράγεσθαι δογματίζουσι, τὰ μὲν καὶ ἐκ πλειόνων, τὰ δέ γε ἐξ ἐλαττόνων, ὡς ὑφέσεως ἢ ὑπερθέσεως ἕκαστον εἴληχεν, εἴπερ πάντα τελευτῶντα εἰς μίαν αἰτίαν,
L 73v τὴν πρώτην, ἀνάγονται, ἀφ' ἧς καὶ προάγονται. τοῦτο δὲ ἔκ τε τῆς θεολογικῆς
V 153v στοιχειώσεως Πρόκλου ἔστιν ἰδεῖν, ἔκ τε τῶν εἰς τὸν Παρμενίδην αὐτῷ πονηθέντων, ὅπου τὰ εἴδη διακρινόμενα καὶ πληθυνόμενα ἐν ἑαυτοῖς τὴν τῶν αὐθυποστάτων εἰληχέναι φησὶ δύναμιν, ὑφιστάμενα μὲν ἀπὸ τῶν πρωτουργῶν αἰτιῶν, παραγόμενα δὲ καὶ ὑφ' ἑαυτῶν. περί γε μὴν ψυχῆς καὶ Ὀλυμπιόδωρος ἐν τοῖς εἰς τὸν Φαίδωνα διχόθεν φάσκει αὐτὴν ὑποστᾶσαν, ὑφ' ἑαυτῆς καὶ ὑπὸ τοῦ θεοῦ. διχόθεν καὶ τελειοῦσθαι καὶ αὖθις ἐν τοῖς αὐτοῖς Πλατωνικὸν εἶναί φησι δόγμα τὸ αὐτὸ παράγωγον εἶναι τὴν ψυχήν.

Ταῦτα δὲ περὶ τῶν γε τοιούτων ἐοίκασι λέγειν, ὡς οὐκ ἂν ἄλλως ἀθάνατα ἐσόμενα· εἰ μὴ τοιαῦτά γε εἶεν, ὑφ' ἑαυτῶν τε παράγοιντο· ὡς γὰρ διὰ τοῦ αὐτοκινήτου, οὕτω καὶ διὰ τοῦ αὐθυποστάτου κατασκευάζουσι τὸ τῶν γε τοιούτων οὐσιῶν ἀθάνατον καὶ ἀνώλεθρον. τοῦτο μὲν οὖν τοιοῦτο καὶ οὕτως ἔχον.

Β' ζήτημα περὶ τοῦ μεθεκτοῦ καὶ ἀμεθέκτου.

Ἕτερον δὲ ὅτι καὶ πᾶσαν ἑνάδα, τό τε καθ' ἑκάστην σειρὰν ἀρχικὸν αἴτιον ἐν τοῖς προειρημένοις συγγράμμασιν οἱ αὐτοί, οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ πάντων αἴτιον ἕν, πῇ μὲν ἀμέθεκτα λέγειν δοκοῦσι, πῇ δὲ μεθεκτά·
V 154 τοῦτο μὲν τῷ μήτε τήν τινων ἀρχὴν ἀποστατεῖν ἐκείνων τινός, ὧν αἰτία λέγεται εἶναι, μήτε τὴν πάντων ἀρχήν τινος ὅλως ἀποστατεῖν τῶν ὁπωσοῦν ὑφεστάναι λεγομένων, πάντων αὐτῶν οὖσαν αἰτίαν, ὅθεν καὶ τὸ πρῶτον τῶν νοητῶν, ᾧ ὄνομα τὸ ἓν ὂν κατὰ μέθεξιν τοῦ πρώτου ἑνός, τούτῳ φασὶ κεκλῆσθαι τῷ ὀνόματι· ἐκεῖνο δὲ τῷ τὸ μετεχόμενον ἐκείνου δεῖν εἶναι, ὑφ' οὗ
B 93 μετέχεται. τούτῳ δὲ ἕπεσθαι τῷ ἑνὸς εἶναι τῶν ἐν τῷ πλήθει καὶ μὴ πᾶσιν ἅμα παρεῖναι. ταύτας οὖν τὰς δοκούσας μὲν ἀντιφάσεις, ἥκιστα δέ γε οὔσας — οὐ γὰρ ἂν ἔγωγε τοῦτο θαρρήσαιμι φάναι — σὸν ἂν εἴη, σοφώτατ' ἀνδρῶν, τοῦ μόνου τανῦν τῆς Πλατωνικῆς ἐποπτείας μυσταγωγοῦ τε καὶ μύστου, ἱκανῶς διαλύσασθαι καί τινα περὶ τούτων ἡμῖν ἐκθεῖναι διδασκαλίαν, ὡς

---

7 πρὸ αὐτῶν L B V αἰτιῶν (πρωτουργῶν) *M* | 9 εἴληχεν B V ἂν εἶχεν L *M* | 10 τὴν πρώτην L] B V *om.* | 16 αὐτοῖς L αὐτῶν B V | 21 τοιοῦτο L τοιοῦτον B V | 31 εἶναι B V] L *om.*

2 Procl. In Parm.

Ε.Υ.Δ της Κ.Ι.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔμοιγε σφόδρα προσίσταται. καὶ λύσιν πολλὰ σκοπούμενος οὐδεμίαν οὐδέπω, ἥτις καὶ ἱκανὴ ἔσται, εὑρεῖν ἐδυνήθην· ἃ δ' ἄν τις φαινομένην ἀντίφασιν ἐν τούτοις συνάγων, ἢ πρὸς αὐθυπόστατον ἁπάντων, ἀδύνατά τε καὶ ἄτοπα L 74
ἐπάγοι τῷ λόγῳ, ἐξέθηκα ἄν, εἰ μὴ τὴν πολυλογίαν φεύγων ἅμα καὶ σὲ V 154v
ᾔδειν τῷ διαβατικωτάτῳ σου νῷ ταῦτα πάντα περιληψόμενον.

### Γ' ζήτημα περὶ τῆς τῶν ὄντων συνωνυμίας ἢ ὁμωνυμίας.

Πρὸς δὴ τούτοις κἀκεῖνο εἰδέναι χρεών, ὡς τὰ ὀνόματα τοῖς αἰσθητοῖς παρὰ τῶν νοητῶν ἐφήκειν οὔτε ὁμωνύμως οὔτε καθαρῶς συνωνύμως, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν Πρόκλος δοξάζει συμφωνῶν, ὥς φησι, Πλάτωνι, κἀκεῖνα μὲν πρώτως εἶναι, ὃ λέγεται, ταῦτα δὲ δευτέρως. »πᾶς γάρ, φησίν, ἀριθμὸς εἰς οἰκείαν αὐτῷ καὶ σύστοιχον ἤρτηται μονάδα, ἀφ' ἧς καὶ τὴν ὑπόστασιν ἔχει καὶ τὴν προσηγορίαν οὔτε συνωνύμως οὔτε εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· ὥστε τὰ ὄντα καὶ ἐκ μιᾶς ἐστι μονάδος ἢ πρώτως, καὶ λέγεται ὄν. δι' ἣν καὶ ταῦτα κατὰ τὴν ἑαυτῶν τάξιν καὶ ἔστι καὶ ἐπονομάζεται ὄντα, καὶ ἀπὸ ταύτης πάντα τὰ ὄντα συμπαθῆ εἰσιν ἀλλήλοις καὶ τὰ αὐτά πως καθ' ὅσον ἐξ ἑνὸς ὄντος ἐστί.« καὶ ἀλλαχοῦ· »ὃ γάρ ἐστι τὸ ἓν εἶδος πρώτως, φησί, τοῦτο τὰ ὑπ' αὐτὸ πολλὰ δευτέρως.« καὶ Ὀλυμπιόδωρος δὲ ἐν τοῖς εἰς τὸν Φαίδωνα· »ὁμώνυμοι, φησί, τοῖς παραδείγμασιν αἱ εἰκόνες, ὡς μόνου τοῦ ὀνόματος τὴν ταυτότητα σῴζοντος, τοῦ δὲ πράγματος ἐκστάντος ἀπὸ τοῦ παραδείγματος εἰς εἰκόνα.«

### Δ' ζήτημα περὶ τῆς εἱμαρμένης.

Οὐ μὴν ἀλλὰ καὶ τὸ πολυθρύλλητον εἱμαρμένης τε καὶ ἀνάγκης δόγμα V 155
κατατεμαχίζειν μοι δοκοῦσι Σιμπλίκιός τε καὶ Ὀλυμπιόδωρος, ὁ μὲν ἐν ταῖς εἰς τὸ ἐγχειρίδιον Ἐπικτήτου ἐπιστασίαις ἀποτρεπόμενος τοὺς πάντα ἀναγκά- B 93v
ζοντας, τά τε ἐπιχειρήματα αὐτῶν ἐκτιθέμενος καὶ ἀνατρέπων, εἶτ' αὐτὸς ἀποδεικνύς τε καὶ συμπεραίνων τὴν ὑπόληψιν καὶ ὄρεξιν τῆς ψυχῆς καὶ ὅλως τὴν αἵρεσιν καὶ προαίρεσιν αὐτεξούσιον καὶ οὐδαμῶς ἠναγκασμένην εἶναι· ἄλλως γὰρ οὐδὲ οἴεται τὸ αὐτοκινητὸν αὐτῆς σῴζεσθαι δύνασθαι καὶ ὅλως αὐτὴν τὴν οὐσίαν, ἀλλ' ἅμα τῇ τοῦ ἐφ' ἡμῖν ἀναιρέσει καὶ τὴν οὐσίαν αὐτῆς ἀναιρεῖσθαι. οἶδας δέ, ποίας σχολῆς ὁ Σιμπλίκιος καὶ ὡς τῆς Ἀκαδημαϊκῆς ἐρύσατο πηγῆς δαψιλέστατα παρ' Ἀμμώνιον καὶ Δαμάσκιον τοὺς Πλάτωνος ὑποφήτας φοιτήσας. ὁ δέ γε Ὀλυμπιόδωρος ἐν μὲν τοῖς εἰς τὸν Γοργίαν· »τεθηλυμένης ἐστί, φησί, προαιρέσεως τὸ οἴεσθαι πάντα ἐξ ἀνάγκης εἶναι L 74v
καὶ καθ' εἱμαρμένην καὶ μηδὲν ἐκ τῆς προαιρέσεως γίγνεσθαι τῆς ἡμετέρας.« »μὴ γὰρ νόμιζε, φησίν, ὅτι οὐ δυνατὸν παρ' εἱμαρμένην ἀποθανεῖν. δυνατὸν γάρ, εἴ γε ἡ προαίρεσις ἀναγκάσοι· καὶ γὰρ καὶ ἡ εἱμαρμένη ἐκ τῆς προνοίας V 155v
ἤρτηται.« καὶ αὖθις ἐν τοῖς αὐτοῖς Ἀμμώνιον εἰσάγει, τὸ τῆς ψυχῆς αὐτο-

---

7 δὴ B δὲ L V | 10 δὲ L B] V *om.* | 11 οἰκείαν L B οἰκίαν V | 11 αὐτῷ L B αὐτῶν V | 31 ἐρύσατο L ἠρύσατο B V | πηγῆς B V ψυχῆς L

10 Procl. | 16 Procl. | 18 Olymp. In Phaed. | 33 Olymp. In Gorg.

Ε. Γ. Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κίνητον ὑπερισχύειν τοῦ τῆς εἱμαρμένης νόμου τιθέμενον, ἐν τούτοις τοῖς λόγοις· »ἐγὼ γάρ, φησίν, οἶδα ἀνθρώπους τινὰς ὅσον κατὰ τὴν ἀστρολογίαν θέματα μοιχῶν ἔχοντας καὶ σωφρονοῦντας περιγενομένου τοῦ αὐτοκινήτου τῆς ψυχῆς.« ἐν δὲ τοῖς εἰς Ἀλκιβιάδην· »ἐκ τῶν τοῦ θεοῦ, φησίν, ἐρωτήσεων ἀνακύπτειν ὡς καθ' αἵρεσιν οἱ βίοι καὶ οὐ κατηναγκασμένοι.« φησὶ γάρ, τί βούλει. οὕτω δὴ καὶ ἐν πολιτείᾳ· »αἰτία ἑλομένου θεὸς ἀναίτιος.« καὶ αὖθις· »ὑμεῖς δαίμονα αἱρήσεσθε, οὐχ ὑμᾶς δαίμων λήξεται· ἐν ἡμῖν γάρ ἐστιν ἑλέσθαι τοιόνδε βίον· ἑλομένους δὲ πράττειν τὰ ἑπόμενα τῷ βίῳ οὐκ ἐν ἡμῖν, ἀλλ' ἀναγκαίως.« οἶδας δέ γε καὶ Πρόκλον ἀναγκαίως τὰ ἐνδεχόμενα τὸν θεὸν εἰδέναι φάσκοντα ἐν τῇ θεολογικῇ αὐτοῦ στοιχειώσει, κἀντεῦθεν συγχωροῦντα τὸ ἐνδεχόμενον, Ἀμμώνιόν τε τοῖς αὐτοῖς ῥήμασιν ὡς ἀπὸ λημμάτων Ἰαμβλιχείων χρώμενον, ἐν οἷς Ἀριστοτέλη περὶ τοῦ ἐνδεχομένου ἐν τῷ περὶ ἑρμηνείας ἑρμηνεύει.

V 156 Οὓς τοιούτους καὶ τοσούτους ἄνδρας ὄντας εὐχερῶς ἀπώσασθαι οὐ πάνυ τοι ῥᾴδιον. εἴ τι οὖν καὶ πρὸς ταῦτα εἰπεῖν δοκιμάσειας, οὐ τὸν πόνον, ἀλλὰ τὴν
B 94 ἐσομένην τοῖς ἐντευξομένοις ὠφέλειαν λογισάμενος, χαριῇ τέ μοι τὰ μέγιστα καὶ μεγάλων ἀποριῶν ἀπαλλάξεις.

## 19. Γεώργιος ὁ Γεμιστὸς Βησσαρίωνι.

B 94 Περὶ τοῦ δημιουργοῦ τοῦ οὐρανοῦ.

L 74v Οὐ πάντα οἴεσθαι χρὴ τοὺς ἄνδρας τούτους, οὓς καταλέγεις, ἀλλήλοις συμφωνεῖν, ἀλλὰ τὰ μὲν μείζω καὶ κυριώτερα ἀλλήλοις συνᾴδειν, ἔστι μέντοι περὶ ἃ καὶ διαφωνεῖν.

Αὐτίκα ὃν Πλάτων προσεχῆ τοῦδε τοῦ οὐρανοῦ τίθεται δημιουργόν, Πρόκλος μὲν τὰ Πλάτωνος δόγματα ἐς τοὺς Ὀρφέως ἕλκων μύθους τέταρτον ἀπὸ τοῦ πρώτου τίθεται αἰτίου· Πλωτῖνος δὲ τρίτον, ἐς τούς γε πολλοὺς οὗτος ἀποβλέψας τῶν ποιητῶν· Ἰουλιανὸς δὲ δεύτερον, παρὰ Μαξίμου ἴσως οὕτω τοῦτο δεδιδαγμένος. δοκεῖ δὲ καὶ Πλάτων οὕτω μᾶλλον ἀξιοῦν καὶ οὐχ, ᾗ Πρόκλος ἢ καὶ Πλωτῖνος ἀξιοῦσιν, ἐξ ὧν ἐν τῇ ψυχογονίᾳ τὴν ψυχήν φησι

---

3 περιγινομένου B V περιγενομένου L | 8 ἑλομένους B V ἑλομένοις L

2 Olymp. In Gorg. | 4 Olymp. In Alcib. | 6 Olymp. In rempubl. | 6 Olymp. In rempubl.

Ep. 19. Gemistos' Antwort auf Bessarions Fragen im vorhergehenden Brief.

Überlieferung: Rom, Cod. Vat. gr. 1002, fol. 94—97 (= B, vgl. oben S. 455); Cod. Vat. gr. 1416, fol. 156—162 (= V); Bibl. Vallicellana, Cod. gr. 190 (C IX) fol. 21—23; Florenz, Bibl. Laur. Plut. 58, Cod. 33, fol. 74 v—77 v (= L); Mailand, Cod. Ambr. 348 (F 88, olim V 416) fol. 155—161; Cod. Ambr. 579 (N 284 sup.) fol. 9—19 v; Cod. Ambr. 703 (Q 114 sup.) fol. 27 v—28; Escurial, Cod. gr. 137 (T II 1) fol. 1—2 v; Wien, Cod. Theol. gr. 90, fol. 29 v—34; Jerusalem, Patriarcheion Cod. 197, fol. 77 v bis 80; Athos, Cod. gr. 4508, 146, fol. 558 v—560 v. Druckausgabe: Migne P G 161, 717—722 (sehr fehlerhaft bis zur Unverständlichkeit).

ΙΩΑΝΝΙΝΑ 2006

τῶν νοητῶν ἀεί τε ὄντων ὑπὸ τοῦ ἀρίστου ἀρίστην γεγονέναι τῶν γενηθέντων. L 75 Πρόκλος δὲ καὶ τοῦτο διαστρέφει τὸ τῶν νοητῶν ἀεί τε ὄντων τῷ ἀνωτέρῳ κώλῳ οὐδὲν τοιαύτης προσθήκης δεομένῳ συνάπτων, τὸ δὲ ὑπὸ τοῦ ἀρίστου V 156ᵛ ἐπιδεὲς λείπων τοῦ τινων ἀρίστου. ἔτι τὴν ὕλην Πρόκλος μὲν ἀπὸ τοῦ πρώτου αἰτίου παράγει· Πλωτῖνος δὲ ἀπὸ τῆς μετὰ τὸ πρῶτον δευτέρας καὶ νοητῆς οὐσίας τὴν περὶ δαιμόνων πονηρῶν δόξαν. οἱ μὲν αὐτῶν δῆλοί εἰσιν οὐ παραδεχόμενοι, ὥσπερ οὐδὲ Πλάτων· οἱ δὲ τιθέμενοι τῇ δόξῃ παρ' Αἰγυπτίων εἰς τοῦτο προηγμένοι· οὐ γὰρ τά γε μαγικὰ λόγια τῶν ἀπὸ Ζωροάστρου μάγων, οἷς καὶ Πυθαγόρας τε ἔσπετο, καὶ Πλάτων αὐτὸς ταύτην φαίνεται προσιεμένος τὴν δόξαν, ἐν οἷς φησιν· ἡ φύσις οὐ πείθει εἶναι τοὺς δαίμονας ἁγνούς. ὡς δὲ καὶ τὸν τῆς εἱμαρμένης λόγον οἱ μὲν τούτων τῶν ἀνδρῶν ἀναιροῦσιν, οἱ δὲ συνιστῶσιν. ἀλλὰ περὶ μὲν τούτου ἄχρι τούτου.

Περὶ δὲ ὧν διαπορεῖν φῄς, τάδε φαμέν· καὶ πρῶτον περὶ τῶν χωριστῶν νῶν· τούτων γὰρ ἕκαστον ἐξ ἴσου τῷ πρώτῳ αἰτίῳ ἓν εἶναι οὐκ ἂν δὴ ἀξιώσειαν οἱ οὕτω λέγοντες, ἀλλ' ἤδη πεπληθυσμένον τι ἕν. τὸν οὖν παράγοντα ἕκαστον αὐτῶν θεόν, τὸ κράτιστον ἑκάστου πεπληθυσμένου ὄντος ἀμέσως παράγοντα τὸ λοιπὸν πᾶν, δι' αὑτοῦ ἤδη τοῦ κρατίστου αὐτοῦ παράγειν, καὶ οὕτως ἕκαστον B 94ᵛ αὐτῶν ὑπό τε τοῦ πρώτου αἰτίου παράγεσθαι, καὶ αὐτοπαράγωγον εἶναι V 157 μέρει τὸ λοιπὸν ἑαυτοῦ μέρος παράγοντα, ὥσπερ που καὶ τὴν ψυχὴν αὐτοκίνητον εἶναι, μέρει τὸ λοιπὸν ἑαυτῆς κινοῦσαν. σαφέστατα γὰρ ἐν τῇ ψυχῇ καταφαίνεται ἥ τε βούλησις αὐτῆς καὶ ἡ ὁρμὴ ὑπὸ τοῦ φρονοῦντος αὐτῆς κινούμενα· αὐτὸ δὲ τὸ φρονοῦν αὐτῆς ὑπὸ τῶν περιϊσταμένων αὐτὴν πραγμάτων, καὶ οὔτε αὐτοκίνητον οὕτως ἡ ψυχή, ὡς μὴ καὶ ὑφ' ἑτέρου κινεῖσθαι, οὔτε αὐτοπαράγωγον, οὔτ' αὐτή, οὔτε τῶν ὑπὲρ αὐτὴν νῶν οὐδείς, ὡς μὴ καὶ ὑφ' ἑτέρου παράγεσθαι. οἱ μὲν οὖν οὕτω λέγοντες λέγοιεν ἄν τι· οἱ δὲ ἑτέρως λέγοντες οὔποτ' ἂν εἰκότως λέγοιεν· οὔτε γὰρ ἂν κινήσειέ ποτέ τι αὐτὸ αὐτό, μὴ οὐ πεπληθυσμένον ὄν. πολὺ δὲ μᾶλλον οὐκ ἂν παραγάγοι· διακεκρίσθαι γὰρ δεῖ ὅπως δήποτε καὶ παράγον παράγοντος, καὶ κινοῦν κινοῦντος, καὶ οὐ χρὴ κοινὰς οὔσας ἐννοίας τὰς τοιαύτας τοὺς φάσκοντας σοφοὺς εἶναι ἀνατρέπειν. τὸ δὲ πρῶτον οὐκ αὐτοπαράγωγον, ἀλλ' αὐτὸ δι' αὑτὸ ὄν, καὶ ἡ τοῦ φρονοῦντος ἡμῶν ἐν τῷ αὐτὸ αὑτὸ νοεῖν αὐτοκινησία τε καὶ ἐς ἑαυτὸ L 75ᵛ ἐπιστροφὴ ὁμώνυμός τις κίνησις. τὴν δὲ ψυχῆς τε καὶ τῶν ὑπὲρ αὐτὴν νῶν V 157ᵛ ἀϊδιότητα οὐκ ἀμέσως οὕτως ἀπὸ τοῦ τε αὐτοκινήτου καὶ αὐτοπαραγώγου κατασκευάζειν χρή, ἀλλὰ πολὺ μᾶλλον ἀπὸ τῆς τε τοῦ κυριωτάτου αὐτῶν τῆς οὐσίας ἀμερείας, τῆς τε ἀπ' ἀκινήτου αἰτίας προσεχοῦς παραγωγῆς, ὧν ἄλλα τε

---

1 γενηθέντων B V γεννηθέντων L | 9 ἔσπετο B ἕπετο V εἵπετο L | 10 προσιέμενος L προσιέμενα B V | 12 τούτου L τούτων B V | 13 πρῶτον B V πρώτων L | 17 αὑτοῦ] αὐτοῦ B V L | 19 μέρος B L μέρους V | 20 εἶναι B V] L *om.* | ἑαυτῆς L ἑαυτῶν B V | 21 *bis* αὐτῆς L αὐτοῦ B V | 22 αὐτῆς L αὐτοῦ B V | 23 οὕτως B V ὄντως L | 24 οὔτ' αὐτή] οὐθ' αὕτη B V L | 26 εἰκότως B V εἰκός τι L

10 cf. Plat. Pol. V 469 a.

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τό τε αὐτοκίνητον τό τε αὐτοπαράγωγον τεκμήρια εἶναι. δεῖν γάρ φησιν ὁ Πρόκλος τῶν τε ἀκινήτων καὶ ἑτεροκινήτων τὸ αὐτοκίνητον μέσον εἶναι, καὶ τοῦτ' εἶναι τὸ τοῖς ἀκινήτοις τὰ ἑτεροκίνητα συνάπτον, ἀλλὰ καὶ εἰ κινεῖ ἢ καὶ παράγει τι τἆλλα τῶν σὺν αὐτῷ ἐσομένων, εἴη ἂν πρῶτόν τέ τι αὐτῶν καὶ προὔχον· εἰ δὲ τοιοῦτο, καὶ ἀμερές. καὶ περὶ μὲν τούτου ἐς τοσοῦτον.

## Πρὸς τὸ β' ζήτημα.

Περὶ δὲ μεθεκτοῦ καὶ ἀμεθέκτου οὐδὲν κωλύει, τοῦ μετέχειν καὶ μετέχεσθαι πλεοναχῇ λεγομένων, καὶ τὰ αὐτὰ τῇ μὲν ἀμέθεκτα, τῇ δὲ μεθεκτὰ B 95 λέγεσθαι· μία μὲν γὰρ εἴη ἂν μετοχὴ ἡ κατὰ μόνην τὴν αἰτίαν, καθ' ἣν ἅπαν παράγον ὑπὸ τοῦ παραγομένου μετέχοιτ' ἂν ὡς τῶν αὐτοῦ τινος τῷ παραγομένῳ μεταδιδόν, καὶ ἂν εἰ χωρὶς αὐτὸ καθ' αὐτὸ μένοι τὸ παράγον. ἑτέρα V 158 δὲ ἡ κατὰ πρόσληψιν, καθ' ἣν τὸ παράγον ἢ κινοῦν ἢ ὅλως ἄρχον προσλαμβάνον ἑαυτῷ τὸ ὑφ' ἑαυτοῦ διατιθέμενον. οὕτω δὴ δρᾷ, ἅττ' ἂν δρῴη ἐς αὐτό. ἡ μὲν οὖν προτέρα μετοχὴ τῶν χωριστῶν ἂν νῶν εἴη πρὸς τὰ τῇδε, ἡ δὲ ὑστέρα τῆς ψυχῆς πρὸς τὸ σῶμα. εἰς τοσοῦτον οὖν καὶ περὶ τούτου.

## Πρὸς τὸ γ' ζήτημα.

Περὶ δὲ τῆς τῶν τῇδε πρὸς τὰ εἴδη τὰ χωριστὰ ὁμωνυμίας, ἐπειδὴ τῶν ὁμωνύμων τὰ μὲν κατ' οὐδεμίαν πραγματικὴν κοινωνίαν κοινὸν τοὔνομα ἔχει, τὰ δὲ κοινωνεῖ μὲν ἀλλήλοις καὶ πραγματικῶς, κατὰ δὲ σμικρόν τι θάτερα τῶν ἑτέρων ἐφάπτεται, καὶ τοῦτο συμβεβηκός τε καὶ οὐκ ἔς τινα κοινὴν οὐσίαν συμβαλλόμενον, οἷον καὶ τὰ ζῷα τὰ γεγραμμένα πρὸς τὰ ἀληθινὰ πέπονθε· τὰ δ' εἰ καὶ κατὰ μεῖζόν τι κοινωνεῖ, ὅμως μέντοι ἐν διαφόροις γένεσι κυριωτέροις περιέχεται· τὰ γὰρ ἐν διαφόροις γένεσι κοινὸν ὄνομα ἔχοντα ὁμώνυμα, οἷον καὶ τῇ ἰατρικῇ συμβαίνει, τῇ τε τέχνῃ, τῇ τε γυναικί, τῇ τε σκευῇ, τῇ μὲν τὴν τέχνην ἴδιον ἔχουσι γένος, τῇ δὲ τὴν τεχνικήν, τῇ δὲ τὴν κατασκευήν· ἐπεὶ οὕτω πάντ' ἔχει τὰ τῇδε πρὸς τὰ χωριστὰ εἴδη, κἂν εἰ V 158ᵛ κατὰ μέγα τι ἀλλήλοις κοινωνοῖ, ἀλλ' ἐπεὶ ἐν διαφόροις τυγχάνει ὄντα γένεσιν, L 76 ὁμώνυμα ἂν εἴη· τοῖς μὲν γὰρ τῇδε τὸ ἔγχρονον ἢ ἔνυλον εἴη ἂν γένος, τοῖς δὲ ἐκεῖ τὸ αἰώνιον ἢ χωριστόν. τὰ μέντοι ὄντα πάντα τά γε ἀνωτάτω, ὁπόσ' ἄν τις καὶ ὁποῖα προχειρίσαιτο, ἐπεὶ οὔτε ἐν ἑτέροις αὐτὰ τυγχάνει ὄντα διαφόροις γένεσι, κοινόν τε ἀλλήλοις καὶ μέγιστόν τι ἐς τὴν οὐσίαν ἔχει συμβαλλόμενον αὐτὸ τὸ εἶναι· καὶ τί γὰρ ἂν τούτου μεῖζον ἐς οὐσίαν εἴη ἑκάστοις συμβαλλόμενον; οὐκ ἂν δὴ ὁμωνύμως ὄντα λέγοιτο, εἰ μὴ ἄρα πρὸς τὸ πρῶτον αἴτιον καὶ μόνον ὁμώνυμόν τις τὸ εἶναι τἆλλα πάντα ἔχειν ἀξιώσειεν, ἣν μὴ τὸ ἓν μόνον καὶ ἀγαθὸν κατὰ Πρόκλον, ἀλλὰ καὶ τὸ ὂν κατ' Ἰουλιανὸν ἐκείνῳ ἀνα-

---

1 τεκμήρια B L τεκμήριον V | δεῖ B L δεῖν V | 5 τοιοῦτο] τοιοῦτον B V L | 7 μετέχεσθαι καὶ μετέχειν L *trp.* | 21 συμβαλόμενον L | 22 εἰ καὶ] L *om.* καὶ | 24 γυναικί B L] V² *corr. in marg.* τεχνικῇ | 25 ἔχουσι *scripsi* ἐχούσῃ B V L | 26 κατασκευήν L σκευήν B V | πάντ' B V ταῦτ' L | 27 κοινωνοῖ B κοινωνεῖ V κοινωνῇ L | 31 ἔχει συμβαλλόμενον B V ἔχειεν βαλόμενον L | τὸ εἶναι B V] L *om.* τὸ | μεῖζον τούτου L *trp.*

τεθῇ· καὶ τίνι γὰρ ἄλλῳ μᾶλλον προσήκει τὸ ὂν ἢ τῷ αὐτὸ δι' αὐτὸ ὄντι; B 95v οὕτω γὰρ ἂν τἆλλα πάντα ἐκείνῳ μὲν ὁμώνυμον τὸ εἶναι ἔχοι, ἀλλήλοις δ' οὐχ ὁμώνυμον, ἅτε καὶ ἀπὸ μιᾶς ἅπαντα προϊόντα τῆς ἀρχῆς. οὐ γὰρ τὸ τὰ μὲν μᾶλλον τοῦ ὄντος, τὰ δ' ἧττον μετέχειν κωλύσει μὴ οὐχ ὑφ' ἓν ἅπαντα τάττεσθαι γένος· ἢν γὰρ σκοπῇ τις ὀρθῶς, ἅπαντα τὰ ἀπὸ κοινοῦ τινος ἀντιδιαιρούμενα γένους ἐς τελεώτερα καὶ ἀτελέστερα ἄττα εὑρήσει διαιρούμενα· τὰ δὲ τελεώτερα τοῦ κοινοῦ γένους ἢ εἴδους μᾶλλον τῶν ἀτελεστέρων μετέχει· V 159 οἷον τοῦ ζῴου ἔς τε τὸ ἀθάνατον καὶ θνητὸν διαιρουμένου, τὸ ἀθάνατον τελεώτερόν τε καὶ μᾶλλον ζῷον, εἴ γε δὴ καὶ μᾶλλον ζῶν, καὶ ἐς τὸ λογικὸν δὲ καὶ ἄλογον τοῦ αὐτοῦ αὖ διαιρουμένου τὸ λογικὸν τελεώτερόν τε ὡσαύτως καὶ μᾶλλον ζῷον, εἴ γε δὴ καὶ μᾶλλον ζωὴ ἡ λογική. ἀλλ' οὐδὲ τὸ ἧττον λευκὸν τῷ λευκοτέρῳ ὁμωνύμως λευκόν ἐστι, τῷ τὸ μὲν μᾶλλον, τὸ δ' ἧττον τοῦ λευκοῦ μετέχειν. ἐκεῖνά γε μὴν ἂν ἐν δίκῃ ὑπεξαιροῖτο τοῦ ὄντος καὶ ὁμωνύμως ἂν εἶναι λέγοιτο, αἵ τε στερήσεις καὶ φθοραί, καὶ ὅλως τὰ κακὰ ἅτε καὶ τοῦ ὄντος ἅπαντα ὄντα ἀποπτώσεις τὰ τοιαῦτα. ἀλλὰ δὲ καὶ περὶ τούτου ἐς τοσοῦτον.

## Πρὸς τὸ δ' ζήτημα.

Περὶ δὲ τοῦ τῆς εἱμαρμένης λόγου οὐχ οἷόν τε τὴν εἱμαρμένην καὶ ὁθενοῦν τῶν μελλόντων ἐξελεῖν, ἐκείνοιν τοῖν ἀξιωμάτοιν καὶ ἀμφοῖν ἐμπέδοιν μενόντοιν τοῦ τε ἅπαν αἴτιον, ὅτι ἂν δρῴη, σὺν ἀνάγκῃ τε καὶ ὡρισμένως δρᾶν, καὶ τοῦ πᾶν τὸ γιγνόμενον ὑπ' αἰτίου ἄν τινος γίγνεσθαι· Ἀριστοτέλης μὲν γὰρ ἐν τοῖς μετὰ τὰ φυσικὰ τὴν ἀπὸ τούτοιν συνεωρακὼς τοῖν ἀξιωμάτοιν V 159v ἀνάγκην καὶ ὡς ἐμπέδοιν καὶ ἀμφοῖν τούτοιν μενόντοιν κινδυνεύει ἐκ τῶν ἐσομένων τὸ ἐπ' ἀμφότερα ἐνδεχόμενον οἴχεσθαι, ἵνα μὴ τὸ ἑαυτοῦ ἐνδεχό- L 76v μενον ἀπολέσῃ, θάτερον τοῖν ἀξιωμάτοιν τούτοιν ἀναιρεῖ, εἶναι ἄττα τῶν γιγνομένων ἀξιῶν καὶ ἄνευ αἰτίου ὁτουοῦν γιγνόμενα, γελοίως τὸ μὲν πᾶσί τε δοκοῦν καὶ δόξον ἂν ἀναιρῶν, τὸ δ' ὑπὸ πλείστων ἀντιλεγόμενον ὡς ἔμπεδον ἑαυτῷ τιθέμενος. ἴδωμεν δὲ καὶ ὅπου τὸ ἐπ' ἀμφότερα τοῦτο ἐνδεχόμενον καὶ ἀμφίρροπον οἱ Ἀριστοτέλει οὗτοι συνηγοροῦντες ἀξιοῦσιν εἶναι. εἰ γὰρ ἐν τῇ βου- B 96 λήσει ἡμῶν αὐτὸ ἀξιοῦσιν εἶναι, ὅπου καὶ δοκοῦσιν αὐτὸ τίθεσθαι, ἢ φάντων ὑπὸ μηδενὸς ἂν αἰτίου τὴν βούλησιν ἡμῶν κινεῖσθαι, ἀλλ' εἰκῇ μάτην, ἵνα δὴ καὶ τοῦτο τὸ σεμνὸν τῇ ψυχῇ ἡμῶν περιάψωσι ματαιότητα αὐτῇ περιθέντες· ἢ ἢν ὑπ' ἀγαθοῦ ὄντος ἢ καὶ φαινομένου τὴν βούλησιν ἡμῶν συγχωρήσωσι κινεῖσθαι, ὥσπερ που καὶ φαίνεται κινουμένη, ἀνάγκῃ αὐτοῖς καὶ σὺν ἀνάγκῃ συγχωρεῖν κινεῖσθαι. τὴν μὲν οὖν βούλησιν ἡμῶν οὐκ ἂν εἶναι αὐτοκίνητον, εἴγε ὑπὸ τοῦ φρονοῦντος ἡμῶν καὶ τἀγαθοῦ φαίνεται κινουμένη· τὴν δ' ὅλην

2—3 ἐκείνῳ μὲν . . . ἅπαντα B V] L *om.* | 6 ἐς L ὥστε B V | 9 τε καὶ B V] L *om.* τε | 13 ἐκεῖνα B V ἐκείνη L | 18 τοῦ L] B V *om.* | 24 ἵνα μὴ B V γνώμη L | 26 ὁτουοῦν B V] L *om.* | 27 δόξον B V δόξαν L | ἂν] L *postea del.* | 29—30 εἰ γὰρ ἐν . . . ἀξιοῦσιν εἶναι B V] L *om.* | 34—36 ἀνάγκη . . . κινουμένη $V^{2}$ *in marg.* | 34 αὐτοῖς B L αὐτῆς V | 35 συγχωρεῖν B V συγχωρῇ L

ΙΩΑΝΝΙΝΑ 2006

V 160 ἡμῶν ψυχὴν αὐτοκίνητον εἶναι, τῷ μέρει ἑαυτῆς τὸ λοιπὸν αὐτῆς κινεῖν, ᾗ
που καὶ Ἀριστοτέλης ἀξιοῖ συνίστασθαι τὸ αὐτοκίνητον. οὐ γὰρ οὐδ' Ἀριστοτέλης ἐν οἷς εὖ λέγων φαίνεται ἀτιμαστέος. κινεῖσθαι μέντοι καὶ αὐτὸ τὸ ἐν ἡμῖν κινοῦν ὑπό τε τῶν ἔξωθεν ἤδη περιϊσταμένων ἡμᾶς πραγμάτων. καὶ δὴ καὶ τοῦ θείου, ἐπειδὰν οἷόν τε γίγνηται τῆς θείας ἐξηγήσεως, μὴ ἀπολείπεσθαι, καὶ τοῦτ' εἶναι τὸ φρονοῦν ἡμῶν, δόγμασι τοῖς ἑαυτῷ ἔξωθεν ἐγγιγνομένοις τὸ λοιπὸν τῆς ψυχῆς κινοῦν, τήν τε βούλησιν καὶ ὁρμὴν καὶ τὰ τούτοιν αὖ ἑπόμενα πάθη, χαράν τε δὴ τὴν ἔνδον, οὐ τὴν δι' αἰσθήσεως, καὶ ἀγανάκτησιν ὡσαύτως καὶ ἐλπίδα καὶ δέος καὶ ἐπιθυμίαν καὶ θυμὸν καὶ δὴ παρὰ ταῦτα καὶ τὴν φαντασίαν. ταῦτα γάρ ἐστιν ἃ τὸ φρονοῦν ἡμῶν κινεῖ, καὶ ὧνπερ ἄρχει ἔξωθεν αὐτοκινούμενον. ταῦτα καὶ ἐφ' ἡμῖν ἐκάλεσαν οἱ Στωϊκοὶ ἅτε ἐπὶ τῷ κυριωτάτῳ ἡμῶν ὄντα τῷ φρονοῦντι. αὐτὸ δὲ τὸ φρονοῦν ἡμῶν οὐκ ἔτι οὔτ' ἐπί τῳ ἄλλῳ τῶν ἡμετέρων, οὔτ' αὐτὸ ἐφ' ἑαυτῷ ἐστιν. ἀλλ' ὑπὸ τούτων οἱ τήν γε εἱμαρμένην οὗτοι ἀναιροῦντες συνελαυνόμενοι τῶν λόγων
V 160v ἐπ' ἐκείνην καταφεύγουσι τὴν ἀπολογίαν, φάσκοντες καὶ τὸ φρονοῦν τοῦτο ἡμῶν ἐπὶ τῇ βουλήσει ἡμῶν εἶναι, εἴ γε ἣν ἐπιμεληθῆναί τε αὐτοῦ καὶ ἀσκῆσαι βουληθῶμεν, καὶ αὐτὸ ἐπιδίδωσιν. ἀλλὰ καὶ τούτου δόξαν τινὰ ἡγήσασθαι δεῖ, τὴν τοῦ ὡς ἐπιμελητέα τε αὐτοῦ καὶ ἀσκητέα. ἧς μὴ πρότερον ἐγγεγονυίας τῷ
B 96v φρονοῦντι ἡμῶν, οὐδ' ἂν ἐπιμεληθῆναι αὐτοῦ οἷοί τέ ποτ' εἴημεν βουληθῆναι,
L 77 ὥστε καὶ οὕτω τὸ φρονοῦν ἡμῶν τὴν βούλησιν ἐφ' ἑαυτὸ κινεῖν ὑπὸ τῆς τοιαύτης αὐτὸ πρότερον κεκινημένον δόξης. οὔτ' οὖν τὸ αὐτοκίνητον οὔτε τὰ ἐφ' ἡμῖν ὀρθῶς λεγόμενα τὴν εἱμαρμένην ἀναιρεῖ. δηλοῦσι δὲ καὶ οἱ τὰς φωνὰς ταύτας πρῶτοι ὀνομάσαντες, τὴν μὲν Πλάτων, τὴν δ' οἱ Στωϊκοί, οὐ καὶ τὴν εἱμαρμένην ἀναιροῦντες, ἀλλὰ μᾶλλον καὶ τιθέμενοι τῇ δόξῃ· οἱ μὲν γὰρ Στωϊκοὶ καὶ παρακελεύονται ἐκεῖνα θαμὰ ἑκάστῳ ἐπᾴδειν τὰ ἰαμβεῖα·

»ἀγοῦ δέ μ' ὦ, Ζεῦ, καὶ σύ γ' ἡ πεπρωμένη,
ὅπῃ ποθ' ὑμῖν εἰμι διατεταγμένος.«

πρὸς δὲ τούτοις καὶ φαίνονται ἁπανταχοῦ τὰ δόγματα εἶναι τὰ κινοῦντα ἡμᾶς
V 161 θρυλλοῦντες, καὶ τοῖς μοχθηροῖς μὴ χαλεπαίνειν ἀξιοῦσιν, ἅτε ὑπὸ τῶν δογμάτων ἀναγκαζομένοις κακὰ δρᾶν καὶ ἄκουσιν ἐξαμαρτάνουσιν. εἰ γὰρ τὰ δόγματα ἡμᾶς κινεῖ σὺν ἀνάγκῃ δήπου καὶ κινεῖ. καὶ Πλάτων δὲ πανταχοῦ φαίνεται σὺν ἀνάγκῃ τὴν ψυχὴν αἱρεῖσθαι, ἅττ' ἂν αἱρῆται, ἀξιῶν. τὰ δ' ἐν τοῖς μύθοις αὐτοῦ οὐ χρὴ ὡς δι' ἀκριβείας ἅπαντα λεγόμενα ζητεῖν· ἴδιον γὰρ τοῦτο τῶν μύθων μὴ ἅπαντα δι' ἀκριβείας λέγειν. οὐδὲν μέντοι ἧττον κἀκεῖ ἐμφαίνεταί τις ἀνάγκη ἑκάσταις ψυχῶν τῆς τῶν βίων αἱρέσεως· κατὰ συνήθειαν γάρ φησι τοῦ προτέρου βίου καὶ τό τε ἑκάστῃ ψυχῇ γίγνεσθαι τὴν αἵρεσιν. εἰ δὲ κατὰ συνήθειαν τοῦ προτέρου βίου, καὶ καθ' εἱρμόν τινα· εἰ δὲ καθ' εἱρμόν, οὐδ' ἄνευ αἰτίας· εἰ δὲ οὐκ ἄνευ αἰτίας, καὶ σὺν ἀνάγκῃ. ὁ δ' ἀπὸ τῶν

---

10 ἡμῶν B V] L *om.* | 11 αὐτοκινούμενον V *corr. ex* καὶ τὸ κινούμενον | 13 ἑαυτῷ L ἑαυτό B V | 25 ἑκάστῳ B V] L *om.* | 32 ἅττ' ἂν B V ἅ τ' ἂν L | 35 ψυχῶν B V ψυχαῖς L | 36—37 καὶ τό τε ἑκάστῃ . . . βίου B V] L *om.*

26 Cleanth. Fragm. 527. (Stoicorum veterum fragmenta ed. Arnim I 118).

τῆς μοιχείας θεμάτων τὴν τῆς εἱμαρμένης ἀναίρεσιν ἰσχυριζόμενος, ἅτε ἀπὸ δυσκρίτων τῶν τοιούτων ὄντων θεμάτων ἐπιχειρῶν, καὶ οὐδ' ἂν αὐτὸς κατά γε τὸ εἰκὸς καλῶς κεκρικώς, εἰκότως οὐδὲ ἡμῖν πιθανός. ἐκεῖνο μὴν ἐπὶ πᾶσι τούτοις προσθήσομεν, ὡς οὐδὲ τὸν τὴν θεοῦ πρόγνωσιν συναναιροῦντα τῇ τῆς V 161ᵛ εἱμαρμένης ἀναιρέσει λόγον καλῶς λύουσιν οἱ λύειν πειρώμενοι, φάσκοντες τὸν θεὸν ὡρισμένως τὰ ἀόριστα γινώσκειν· εἰ μὲν γὰρ τὸ ἀόριστον σχέσις τις ἦν, οἷόνπερ τὸ διπλάσιον, ὃ σχέσις ὂν τοῦδε μὲν διπλάσιον, ἑτέρου δὲ τὸ B 97 αὐτὸ ἥμισυ, ἴσως εἰκότως ἂν καὶ ἐδόκουν λέγειν τι οἱ οὕτω λέγοντες. ἐπεὶ δ' εἴπερ τι ἄλλο ἀπόλυτον καὶ τὸ ἀόριστον παραπλήσιον ἂν εἴη τὸ λεγόμενον, ὥσπερ ἂν εἰ τὸν θεὸν ἔφασκον τὸν βοῦν ἄνθρωπον ὄντα γιγνώσκειν ἢ τὸν ἄνθρωπον ἀστέρα, ποία οὖν γνῶσις ἕτερόν τι περὶ τοῦ γιγνωσκομένου, ἢ ὅ ἐστι τὸ γιγνωσκόμενον γιγνώσκειν; ἔτι πᾶσιν ὁμολογεῖται τοῖς σοφοῖς τὸν θεὸν L 77ᵛ ἅπαντα τῷ ποιεῖν γιγνώσκειν. εἰ οὖν τῷ ποιεῖν ἅπαντα γιγνώσκει, καὶ ὁρίζοι ἂν δήπου, ἅττ' ἂν ποιοῖ τε καὶ γιγνώσκοι, καὶ οὐδὲν ἂν ἀόριστον εἴη, ὧν ἂν αὐτὸς εἴτε ἀμέσως εἴτε διὰ μέσων ποιοῖ τε καὶ γιγνώσκοι· ἅπαντα δ' ἂν ὁπόσα ἀγαθοῦ ἔχεται, ποιοῖ τε καὶ γιγνώσκοι, εἰ μέλλοι μὴ κόλλουρος αὐτοῦ ἥ τε πρόνοια ληφθήσεσθαι καὶ γνῶσις. τὰ δὲ κακὰ ἅτε τοῦ ὄντος ὄντα ἀποπτώσεις οὐδ' ἂν αἰτίας δέοιτο. ὥστ' οὐδ' ἂν ὁ θεὸς τῷ τῆς εἰς τοὔσχατον προνοίας τε καὶ εἱμαρμένης λόγῳ τῇ τούτων ἐνέχοιτο αἰτίᾳ.

Σοὶ τοσαῦθ' ἡμεῖς ἐς τὰ ἠπορημένα συμβαλλόμεθα, ἱκανὰ δὴ ἀνδρὶ οἵῳ- V 162 περ σοί. ἔρρωσο.

## 20. Βησσαρίων Καρδινάλις

B 97
V 162

Τῷ σοφῷ καὶ διδασκάλῳ

**Γεωργίῳ τῷ Γεμιστῷ**

Εὖ πράττειν.

Τῆς μὲν τῶν πρὸς ἡμῶν ἠπορημένων λύσεως πλείστας οἶδά σοι χάριτας. ἐβουλόμην δ' ἂν ἐπὶ τούτοις τοῖς λόγοις, οἷς τὰ ἠπορημένα ἐπιλυόμενος χρῇ, καὶ τινων παλαιοτέρων σοφῶν ἀξίωμά σε παραγαγεῖν καί τινας αὐτῶν ἐπενεγκεῖν χρήσεις, αἷς μάλιστα ἂν ἔπεισας τοὺς ἀκούοντας. εἰ γὰρ καὶ τὸ σὸν ἀξίωμα μόνον ἔμοιγε γοῦν ἀρκεῖ, μᾶλλον μέντοι ἔπεισας ἂν τούς τε ἄλλους,

---

4 τὸν τὴν θεοῦ B V τὴν τοῦ θεοῦ L τὸν L *om.* | 12 γιγνώσκειν B V γιγνῶσκον L | 15 ποιοῖ B V ποιεῖ L | γιγνώσκοι B V γιγνώσκει L | 16 μέλλον B V μελλει L 17—18 τὰ δὲ κακὰ . . . ἀποπτώσεις V² *in marg.* | 20 συμβαλλόμεθα B V συμβαλόμεθα L

Ep. 20. Eine weitere Anfrage Bessarions an Gemistos philosophischen und mathematischen Inhalts.

Der bisher noch ungedruckte Brief ist überliefert: Rom, Cod. Vat. gr. 1002, fol. 97—98 v (= B); Cod. Vat. gr. 1416, fol. 162—164 (= V); Bibl. Vallicellana, Cod. gr. 189 (C VIII) n. 14.

Ε.Υ.Δ.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐμέ τε ἔτι. εἰρήσθω γὰρ πρὸς σὲ τἀληθές. τῶν παλαιῶν ἐκείνων ἀνδρῶν τισι B 97v χρησάμενος μαρτυρίαις, αὐτίκα ὡς αὐτοπαράγωγον κατ' αὐτοὺς λέγεται, οὗ τὸ κράτιστον πεπληθυσμένου ὄντος ὑπὸ τοῦ ἑνιαίου θεοῦ παραγόμενον, αὐτὸ ἤδη τὸ λοιπὸν ἑαυτοῦ παράγειν, καὶ ὡς μεθεκτὸν οἴονται τό τε κατ' αἰτίαν τό τε κατὰ πρόσληψιν. ἐγὼ σοῦ λέγοντος πιστεύω μέν, ἐπείσθην δ' ἂν καὶ τοὺς V 162v φθάσαντας ἡμᾶς σοφοὺς ἄνδρας ἐκείνους οὕτω φρονοῦντας. ἰδὼν περί γε μὴν τῆς μὴ ὁμωνυμίας τῶν ὄντων, εἰ καὶ ὥς γε ἐκ τῶν ἐνόντων ἱκανὰ τὰ εἰρημένα, ἄσμενος δ' ἄν τι καὶ περὶ τούτων πλατύτερον σοῦ λέγοντος ἤκουσα, καὶ μάλιστα ὡς, ἐπεὶ καὶ Πλάτων αὐτὸς τά τε νοητὰ τῷ πρώτῳ αἰτίῳ καὶ κυρίως ὄντι τά τε αἰσθητὰ τοῖς νοητοῖς ὁμώνυμα τίθεται, τίνι ἔτι Ἀριστοτέλους διοίσει ὁμώνυμα τιθεμένου τὰ ὄντα, ἢ πῶς ἂν αὐτῷ ἡ συνωνυμία ἔτι σώζοιτο.

Τοὺς δὲ περὶ εἱμαρμένης λόγους κατεσκεύασας μὲν ὥς γε τὸ εἰκὸς τὸν ⟨λόγον⟩ ταῖς τῶν παλαιῶν συνιστάμενον δόξαις. ἐμὲ δ' ὑποθράττει καὶ μὴ ἂν εἶναι ταύτην Πλάτωνος δόξαν ὑποπτεύειν ποιεῖ. τό τε τῶν ἄλλως λεγόντων ἀξίωμα, ὧν ἤδη πεποίημαι μνείαν, τό τε Πλουτάρχου μάλιστα πάντων, ὃν αὐτός τε σοφώτατον ἡγῇ, κἀγὼ δὲ οὐχ ἥκιστα σοί τε ἑπόμενος τήν τε ἐν πᾶσιν ὅλως αὐτοῦ τοῖς συγγράμμασιν ἐμφαινομένην σοφίαν τε καὶ πολυμαθίαν ὁρῶν. ὃς ἐν τοῖς περὶ εἱμαρμένης αὐτοῦ λόγοις ταὐτὰ ταῦτα, ἃ καὶ οἱ μετ' αὐτὸν γεγονότες, καὶ οὓς σοι κατηριθμησάμην, φησί. προσέτι δὲ Ἀλκίνοος ἐν τῇ εἰς Πλατωνικῶν φιλοσοφίαν ἐπιτομῇ αὐτοῦ ἀδελφὰ τούτοις λέγει. ἐδεήθην V 163 οὖν ἂν σου, ἵνα διελθὼν κἀκείνους τοὺς λόγους καὶ ἀκριβῶς ἐπιστήσας αὐτοῖς εἴπῃς τὰ δοκοῦντά σοι καὶ πρὸς ταῦτα. πρὸς τούτοις σου δέομαι, ἵνα τὰ ἔκ τε τοῦ ὀγδόου τῶν πολιτειῶν ἔκ τε τοῦ δεκάτου τῶν νόμων ἄλλοτε ἡμῖν ἠπορημένα τοῦ κειμένου τεμμάχια ἡμῖν ἐξηγήσῃ. οὐ γὰρ δυνάμεθα ἀκριβῶς B 98 συνιέναι.

Ἐπὶ τούτοις γίνωσκε ἡμᾶς μὴ δυναμένους χρήσασθαι τῷ εἰς ἀστρονομίαν σοι πεποιημένῳ προχείρῳ. μὴ ψηφοφοροῦντες γὰρ ἐφεξῆς τε καὶ συνεχῶς, ὡς αὐτὸς ποιεῖς, οὐ δυνάμεθα οὔτε τὸ τοῦ παρελθόντος ἔτους τέλος οὔτε τὴν τοῦ μέλλοντος ἔχειν ἀρχήν, ἐν ποίου καὶ ποίᾳ μηνὸς ἡμέρᾳ ἐστίν, οὔτε τοὺς ἀριθμοὺς τῶν ἐτῶν. δηλαδὴ τὰ θεμέλια δέομαι δή σου, ἵνα μοι τοῦ τε μέλλοντος ἔτους τὴν ἀρχὴν τούς τε τῶν ἐτῶν πέμψῃς ἀριθμοὺς καὶ ἔτι μοί τινα μέθοδον, εἰ δυνατόν, παραδῷς, δι' ἧς ἂν καὶ μὴ ψηφοφορῶν ἐφεξῆς. τοῦτο γὰρ ἔμοιγε οὐ δυνατόν. οὗ ἂν βουληθῶ ἔτους, τήν τε ἀρχὴν ὀρθῶς εὕροιμι διὰ τῶν προχείρων σου τούτων κανόνων, τούς τε τῶν θεμελίων αὐτῶν ἀριθμούς.

V 163v Εὖ πράττε καὶ τοὺς πόνους τούτους ἄσμενος δέχου ἄνθρωπον ὠφελεῖν μᾶλλον σοὶ φίλτατον.

Τῇ ἀπὸ κτήσεως κόσμου κατὰ Γραικοὺς ϛϡνε' τὸν Δεκέμβριον ἢ Ἰανουάριον ἄρξεται ἔτος. ἀπ' Ἀλεξάνδρου αψοζ', ὡς οἶμαι. οὗ ζύγοι ἔσονται οἱ ὑποτεταγμένοι.

---

17 σοφίαν τε B σοφίαν τήν τε V | 20 Πλατωνικῶν B Πλατωνικὴν V | 24 ἐξηγήσῃ] ἐξηγήσει | 38 ἄρξεται B ἄρχεται V

Ε.Υ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006